# ΚΕΦ. ΕΒΔΟΜΟΝ.

## Περὶ Σημείων Ἐννοιῶν.

Ἤτοι

## Περὶ Ὅρων δυνάμεως.

§. σ΄.

Τὰς ἐν τῷ κρυπτῷ τῆς ψυχῆς ἀνακινουμένας ἐννοίας, ἐνδείξεσί τισι σωματικωτέραις ἐμφανίζειν πεφύκαμεν. Καὶ κινήμασι, νεύμασι, (1) φωναῖς, εἰκονισμοῖς παντοίοις, καὶ τῇ σιγῇ πολλάκις αὐτῇ, καὶ τῇ ἀκινησίᾳ οἱονεὶ συμβόλοις χρώμενοι, διὰ τούτων τοῖς ἄλλοις, τὶ δήποτε νοητὸν ἐστὶν ἡμῖν, ἢ βουλητὸν, συνιδεῖν παρεχόμεθα.

§. σα΄. Σημεῖον οὖν ἁπλῶς ἐστὶ, τὸ εἰς ἔννοιάν τινος παρ᾽ αὐτὸ ἄλλου, ἐνάγον τοὺς αὐτῷ προσέχοντας. Ἐννοιῶν δὲ σημεῖα πρὸ τῶν ἄλλων ἐγκρίνεται, τὰ διὰ τῶν φωνητικῶν ὀργάνων ἐνάρθρως σχηματιζόμενα ἀπηχήματα· ταυτὸν εἰπεῖν αἱ φωναί. Αὗται γάρ τοι καὶ ἀπονώτερον ἀποδίδονται. Καὶ πλήθει δὲ καὶ ποικιλίᾳ τῶν ἄλλων διαφέρουσι. Καὶ οὐδὲ τοῦ νοεροῦ τάχους κατόπιν τῷ παντὶ ἀπολείπονται. Τοῦτο γὰρ δὴ σχεδὸν ἁπάντων διὰ τὴν χρείαν σύνδρομον ἀνθρώποις ἡ φύσις παρέχετο τοῖς ἐν ψυχῇ τῶν τοῦ σώματος, φωναῖς ἐνάρθροις ἐκδηλοῦν δύνασθαι τὰ νοούμενα, καὶ ἃ κατὰ νοῦν φέρουσι, ταῦτα συνεκφέρειν ἑτοίμως τῷ στόματι. Σημεῖα δὲ ἐστὶ ταῦτα, οὐχὶ τῶν φυσικῶν δηλονότι, οἷος ὁ καπνὸς ἐστὶ τοῦ πυρὸς, τῶν δὲ κατὰ συνθήκην, καὶ ἀπὸ βουλῆς ἠρτημένων· καὶ τούτου γε ἕνεκα καὶ παντοίως κατὰ Ἔθνη καὶ Χώρας ποικιλλομένων, ἐξ οὗ καὶ μέροπας τοὺς ἀνθρώπους καταλλήλως ἦσεν ἡ ποίησις.

§. σβ΄. Αἱ δὲ φωναὶ σημαντικαὶ τῶν ἐν τῇ ψυχῇ νοημάτων τυγχάνουσαι τὰ κατὰ τοὺς Γραμματικοὺς μέρη τοῦ λόγου εἰσὶν,

(1) „Καὶ γὰρ νὴ Δία πολλάκις ἐπι„μειδίασις, καὶ ἀποσιώπησις, ἐμφαντι„κώτερον ποιεῖ τὸν λόγον. Πλούτ. ἐν Πλατ. Ζητήμ. πρὸς ὃ φέρει καὶ τὸ ἐν ταῖς Παροιμ. Κεφ. ς΄. περὶ τοῦ ἄφρονος λεγόμενον „ἐννεύει, ὀφθαλμῷ, ση„μαίνει δὲ ποδί, διδάσκει δὲ ἐν νεύμα„σι δακτύλων.



εἰσὶν, ὧν κυριώτατα ὄντα καὶ ἐμψυχώτατα τό, τε ὄνομα καὶ τὸ ῥῆμα (1), εἰκὸς καὶ τῇ κοινοτέρᾳ κλήσει περισημαίνεσθαι ὀνόματά γε, καὶ ἔπη ταῦτα πρὸ τῶν ἄλλων ἀκούοντα, καὶ τοῖς Διαλεκτικοῖς μόνα, ἐν χρήσει μάλιστα γίγνεσθαι, ὡς τὰ μὲν τῶν ὄντων, τὰ δὲ τῶν πραγμάτων, ἤτοι τῶν ἐπιθεωρουμένων τοῖς οὖσιν ἐνεργειῶν καὶ παθῶν δηλωτικά. (2).

§. σγ΄. Καὶ ὄνομα μὲν ὥρισται φωνὴ Σημαντικὴ κατὰ Συνθήκην, ἄνευ χρόνου, ἧς μηδὲν μέρος σημαντικὸν κεχωρισμένον· οἷον ἵππος. Σημεῖον δὲ καθίσταται μάλιστα τῶν κατὰ τὴν πρώτην ἐνέργειαν τοῦ Νοῦ (§. β΄. γ΄.) ἐννοημάτων, παρίστησί τε σημαντικῶς ἐκφερόμενον οὐσίαν, ἤτοι πρώτην, κύριον ὂν, οἷον Σωκράτης (πρὸς ὃ καὶ τὰς Ἀντωνυμίας (3) ἀνακτέον, ἐγὼ, σὺ, οὗτος, ἐκεῖνος· ἢ οὐσίαν δευτέραν εἰ τύχοι προσηγορικόν· οἷον ἄνθρωπος, ζῶον· ἢ τί τῶν ἐν τῇ οὐσίᾳ ἀναγκαίως προσὸν, οἷον διανοητικὸς, λογικὸς· ἢ τί τῶν περὶ τὴν οὐσίαν ἐνδεχομένως περιὸν, οἷον μέγας, ἐπιστήμων, ἐὰν ᾖ ἐπίθετον.

§. σδ΄. „Ῥῆμα δὲ ὥρισται τὸ προσσημαῖνον χρόνον, οὗ μέρος „οὐδὲν σημαίνει χωρὶς, καὶ ἔστιν ἀεὶ τῶν καθ᾽ ἑτέρου λεγομένων „σημεῖον

(1) Πλάτων εἶπε τὸν λόγον ἐξ ὀνομάτων καὶ ῥημάτων κεράννυσθαι. (τῶν γὰρ ὀκτὼ τοῦ λόγου μερῶν ἅπερ ὅμηρος νεανιευσάμενος εἰς στίχον ἐνέβαλε πάντα τοῦτον.

„Αὐτὸς ἰὼν κλισίην δὲ τὸ σὸν γέρας ὄφρ᾽ εὖ εἰδῇς. δοκεῖ πάντα, πλὴν δυοῖν τούτων (ἤτοι ὀνόμ. καὶ ῥήμ.) μηδέν. Πλούτ. Αὐτ.

(2) „Ἐπεὶ τοίνυν τῷ μὲν ῥήματι „τὰ πράγματα (τουτέστι τὰς ἐνεργείας „καὶ τὰ πάθη) τῷ δὲ ὀνόματι τοὺς „πράττοντας αὐτὰ καὶ πάσχοντας ἀπο„χρώντως δηλοῦμεν (ὡς ὁ Πλάτων εἴρη„κεν) ταῦτα σημαίνειν ἔδοξε· τὰ δὲ „ἄλλα φαίητις ἂν οὐ σημαίνειν . . . οὐ „γὰρ ἐκ τούτων ὁ λόγος, ἀλλ᾽ εἴπερ „ἄρα διὰ τούτων, καὶ οὐκ ἄνευ τούτων „κεράννυσθαι πέφυκεν. Οὐ γὰρ ὥσπερ „ὁ τὸ τύπτειν φθεγξάμενος, ἢ τὸ τύ„πτεσθαι, καὶ πάλιν τὸ Σωκράτης, ἢ „τὸ Πυθαγόρας, ἁμωσγέπως νοῆσαί τε „καὶ διανοηθῆναι παρέσχηκεν, οὕτω τοῦ „μὲν, ἢ γὰρ, ἢ περὶ, καθ᾽ αὑτὸ ἐκ„φωνηθέντος, ἔστιν ἔννοιάν τινα λαβεῖν „ἢ πράγματος, ἢ σώματος . . . . Ὅθεν „εἰκότως ἔνιοι μόνα ταῦτα μέρη τοῦ λό„γου τίθενται. Καὶ ὅμηρος ἴσως τοῦτο „βούλεται δηλοῦν ἑκάστοτε λέγων,

„Ἔπος τ᾽ ἔφατ᾽ ἔκτ᾽ ὀνόμαζεν.

„ἔπος γὰρ τὸ ῥῆμα καλεῖν εἴωθεν . . . Πλούτ. αὐτόθι.

(3) „Καὶ μὴν τῶν γε λοιπῶν, ἡ „μὲν Ἀντωνυμία περιφανῶς γένος ὀνό„ματος ἐστίν· οὐχ ᾗ πτώσεως μετέχει „μόνον, ἀλλὰ καὶ τῷ κυριωτάτην ἅμα „τῇ φύσει ποιεῖν δεῖξιν ἐννοίας ἐπὶ τῶν „ὡρισμένων ἐπιφερομένης. Καὶ οὐκ „οἶδ᾽ ὅ, τι μᾶλλον ὁ Σωκράτην φθεγ„ξάμενος, ἢ ὁ τοῦτον εἰπὼν, ὀνομαστὶ „πρόσωπον δεδήλωκεν. Αὐτ. Αὐτ.